UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Marco. 109.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

illis quidem gloriantur, his autem erubeſcunt. Tu verò, vt aiunt, cùm vitiis plenus ſis, virtutibus prorſus cares. Ac profectò quòd ventris illecebris cedens, libidinis quoque affectibus ſuccumbas, nihil mirandum eſt. Nam illi magna ex parte ventrem ſequuntur. etenim qui ventrem imperio tenuerit, libidini quoque imperare poterit. Quoniam autem alia etiã omnia vitia in te ſedem habere aiunt, téque vitij promptuarium atque impudentiæ theſaurum appellant, hoc verò mihi mirandum videtur, atqueadeo admirationem omnẽ excedens. Sunt enim nonnulli ſæui & crudeles, verùm pudici: aut quæſtus turpiter cupidi, verùm modeſtia præditi: aut impuri quidem ac libidinoſi, cæterùm faciles ac manſueti. At te per omnia graſſari criminantur. Etenim & linguam aduerſus homines probos ac virtutis amantes armare dictitant, & turpibus lucris inuolutum, hinc etiam gloriari: & cùm omnes, quivnquã ob libidinem celebres extiterunt, ſuperes atque obſcures, hoc quoque nomine tibi placere: cúmque ob tua facinora, quæ ne commemorare quidem fas eſt, ſupercilium demittere debeas, id tamen ſupra tempora efferre: atque, vt ſummatim dicam, omne corporis membrum animi ſocordiam & contumaciam indicare. Quanquam enim alterum cum altero pugnat: vtrumque tamen in te concurriſſe affirmãt. Quocirca, ſi vera loquũtur, hîc pœnitentiam age: ne in altero æuo citra vllam vtilitatem id facias.

Marco. 109.

Quæris cur vinum omnes, à quibus adhibetur, non eodem modo afficiat, verùm alios placidos ac faciles, alios iracundos reddat, alios ad amicitiam, alios ad pugnã procliues, alios denique blandos, alios belluinos. Exiſtimo igitur, quoniam nos de rebus quoque naturalibus diſputare cogis, hæc vel à corporis affectione contingere, nempe quòd huiuſmodi euentuũ cauſæ à vino augeantur, vel imminuãtur, vel ab animi impulſionibus, quæ pleroſ-

ἔχουσι καὶ ἐλαττώματα, καὶ τῆς μὲν ἐναβρύνονται, τοῖς δὲ ἐγκαλύπτονται. σὺ δὲ ὡς φασὶ ἐλαττωμάτων ἀνάπλεως ὢν κατορθωμάτων ἔρημος εἶ καὶ γυμνός. τὸ μὲν οὖν γαστρός σε ἡττώμενον, καὶ τοῖς μετὰ γαστέρα κεχειρῶσθαι πάθεσι, θαυμαστὸν οὐδέν. ταῦτα γὰρ ἐκείνῃ ὡς τὰ πολλὰ ἕπεται. ὁ γὰρ γαστρὸς ἄρξας καὶ συνουσίας ἄρχειν δυνήσεται. ἐπειδὴ καὶ τἄλλα πάντα ἐλαττώματα ἐν σοὶ χορεύειν φασὶ, καὶ ταμεῖόν σε καλοῦσι κακίας, καὶ θησαυρὸν ἀναισχυντίας, τοῦτο θαυμαστὸν εἶναι δοκεῖ, καὶ πᾶσαν ἔμπληξιν ὑπερβαίνειν. εἰσὶ γάρ τινες ὠμοὶ μὲν, σώφρονες δὲ, ἢ αἰσχροκερδεῖς μὲν, μέτριοι δὲ, ἢ ἀσελγεῖς μὲν, ἥμεροι δέ. σὲ δὲ διὰ πάντων χωρεῖν κωμῳδοῦσι. γλῶσσαν μὲν γὰρ ὁπλίζειν σε φασὶ κατὰ τῶν φιλαρέτων. αἰσχροῖς δὲ κέρδεσιν ἐγκαλινδούμενον, καὶ σεμνύνεσθαι. πάντας δὲ τοὺς πώποτε ἐπὶ λαγνείᾳ βεβοημένους ἀποκρύψαντα, καὶ ἐναβρύνεσθαι. κάτω δὲ τὴν ὀφρὺν ἔχειν ὀφείλοντα, διὰ τὰς πράξεις, ἃς οὐδὲ εἰπεῖν θέμις, ἄνω κροτάφων αὐτὴν ἐπαίρειν, καὶ συλλήβδην εἰπεῖν, πᾶν μέλος τοῦ σώματος τὴν τῆς ψυχῆς ἐμφαίνει ῥαθυμίαν τε καὶ ἀπόνοιαν. καίτοι θάτερον θατέρων, ἐναντίον ἐστὶν, ἀλλ᾽ εἰς σὲ συνδεδραμηκέναι διισχυρίζονται. εἰ τοίνυν ἀληθεύουσι, μετανόει ἐνταῦθα, ἵνα μὴ ἐκεῖσε ἀνονήτως αὐτὸ πράξειας.

Μάρκῳ. ρθ.

Διὰ τί ἔφης οὐ πάντας τοὺς προσφερομένους αὐτὸν, ὁμοίως ὁ οἶνος διατίθησιν. ἀλλὰ τοὺς μὲν εὐμενεῖς ποιεῖ, τοὺς δὲ θυμώδεις. καὶ τοὺς μὲν φιλικούς. τοὺς δὲ μαχίμους. καὶ τοὺς μὲν ἡμέρους, τοὺς δὲ θηριώδεις. οἶμαι τοίνυν ἐπειδὴ καὶ φυσιολογεῖν ἡμᾶς ἀναγκάζεις, ταῦτα συμβαίνειν, ἢ ἀπὸ τῆς τοῦ σώματος διαθέσεως, τῷ ἢ αὔξεσθαι, ἢ μειοῦσθαι ἀπὸ τοῦ οἴνου τὰς αἰτίας τῶν τοιούτων συμπτωμάτων, ἢ ἀπὸ τῶν

λανθανόντων τοῖς πολλοῖς τῆς ψυχῆς κινημάτων. ἐπειδὴ γὰρ μόνων τῶν ὑγρῶν ἠθοποιὸν ὁ οἶνός ἐστι, κίρναται τρόπον τινὰ τοῖς τρόποις τῶν χρωμένων. πρὸς ὁποῖον γὰρ ἂν ἦθος προσενεχθῇ, τοιαῦτα καὶ τὰ πάθη ἀποφαίνει, οὐ μὴ ὄντα αὐτὰ κατασκευάζων, ἀλλὰ κεκρυμμένα γυμνῶν. τὸ γὰρ πεπλασμένον ἦθος ἀπαμφιάσας, ἐκφαίνει τὰ λανθάνοντα, ὅθεν καὶ εἰς παροιμίαν κεχώρηκε τὸ τοιοῦτο, λεγόντων πολλῶν, Εν οἴνῳ ἀλήθεια. τοὺς μὲν γὰρ δοκοῦντας σεμνότητος δόξῃ ἐναβρύνεσθαι, ἐκλαλητικοὺς τῶν ἀπορρήτων πολλάκις ἔδειξε, καὶ ὅπερ ἄρρητον ἄμεινον, εἰπεῖν παρεσκεύασε. τοὺς δὲ ἀπὸ μισοπονηρίας πολλάκις εἰς ὀργὴν ἐκτραπέντας, μειλιχίους τε καὶ πράους ἤλεγξεν ὄντας. τῶν μὲν, τὴν ἐπὶ σεμνότητι δόξαν· τῶν δὲ, τὴν ἐπὶ τῇ ὀργῇ αἰτίαν ἐξαφανίσας. οὐ γὰρ τὰ μὴ ὄντα κατασκευάζει, ἀλλὰ τὰ ὄντα μὲν, λανθάνοντα δὲ, δημοσιεύει.

que latent. Quoniam enim vinum humidorum duntaxat mores informat, vtentiũ moribus quodã modo miſcetur. Etenim pro iis moribus, quibus adhibetur, eoſdem quoque affectus oſtẽdit: non quidem eos, cùm non eſſent, efficiens, verùm abſtruſos & occultos denudans. Siquidem fictis moribus detectis, ea, quæ in obſcuro erant, patefacit. Vnde etiam illud in prouerbiũ abiit, dicentibus multis, In vino veritatem ſitam eſſe. Quippe eos, qui grauitatis exiſtimatione gloriari videbantur, arcanorum enunciatores ſæpenumero demonſtrauit, effecítque, vt quod tacitum tenere præſtiterat, effutirent. Ac rurſum eos qui improbitatis odio perſæpe ad iracundiam concitati fuerant, blandos ac manſuetos eſſe oſtendit. Atque ita & famam illam gloriámque grauitatis, qua illi florebant, & iracundiæ culpam, qua iſti laborabant, extinxit ac deleuit. Neque enim quæ non ſunt, efficit: verùm quæ occulta & abſtruſa ſunt, euulgat.

Εὐσταθίῳ διακόνῳ. ρι.

Λίαν θαυμάζω, ὅπως νόσημα τυραννικὸν καὶ ἀνήμερον, ἡδονῆς μὲν ἄμοιρον, κόλασιν δὲ ὠδῖνον, κεκράτηκε μὲν πάσης ἡλικίας, ἐχειρώσατο δὲ πᾶσαν ἀξίαν, ἐλυμήνατο δὲ πᾶσαν εὐκοσμίαν. ἕκαστος γὰρ τὰ ἑαυτοῦ πταίσματα παρεὶς μέγιστα ὄντα, καὶ συγγνώμης πολλάκις μείζονα, τὰ τῶν πέλας ἐλάττονα ὄντα, πολλάκις δὲ καὶ συγγνώμης ἄξια, πολυπραγμονεῖ, καὶ λυπεῖται μὲν περὶ τῶν οἰκείων λογιζόμενος· ἀγάλλεται δὲ περὶ τῶν ἀλλοτρίων διαλεγόμενος, καὶ εἰς τὸ τὰ τῶν ἄλλων πολυπραγμονεῖν καὶ καταδικάζειν δαπανᾷ τὸν οἰκεῖον χρόνον. καὶ ἑαυτῷ μὲν καὶ τὰς οὐκ οὔσας ἀπολογίας πορίζεται, τῶν δὲ πλησίον πικρὸς καὶ ἀπαραίτητος κάθηται δικαστὴς, κἂν δοκοῖεν ἀπολογίαις εὐλόγοις πλουτεῖν. χρὴ τοίνυν τοὺς βουλομένους θεραπείαν τῷ τοιούτῳ ἐπινοῆσαι νοσήμα-

Euſtathio Diacono. 110.

Magna me admiratio tenet, quonam pacto tyrannicus, ac ſæuus morbus, voluptatíſque omnis expers, & cruciatum parturiens, tum omnes cuiuſuis ætatis ſuperarit, tum omnes cuiuslibet dignitatis ſubegerit, ac denique ornatum omnem ac modeſtiã labefactarit. Vnuſquiſque enim, prætermiſſis peccatis ſuis, & quidem grauiſſimis, veniáque perſæpe maioribus, aliorum errata, tametſi leuiora, veniáque ſæpenumero digna curioſè inquirit: ac ſua quidem ſupputans mœrore afficitur: de alienis autem verbã faciens, exultat, lætitiáque perfunditur, atque in aliorum actionibus perſcrutandis & condemnãdis tempus omne ſuum conterit. Ac ſibiipſi quidem falſas etiam defenſiones purgationéſque comparat: aliorum autem acerbus & inexorabilis Iudex ſedet, etiamſi alioqui iuſtis excuſationibus affluere videantur. Quocirca iis, qui huiuſmodi